*The Better Argument and the Worse Argument debate: are hot baths bad for one's character?*

| | |
|---|---|
| Ἄδικος Λόγος | σκέψαι δὲ τὴν παίδευσιν ᾗ πέποιθεν ὡς ἐλέγξω, |
| | ὅστις σε θερμῷ φησι λοῦσθαι πρῶτον οὐκ ἐάσειν. |
| | καίτοι τίνα γνώμην ἔχων ψέγεις τὰ θερμὰ λουτρά; |
| Δίκαιος Λόγος | ὁτιὴ κάκιστόν ἐστι καὶ δειλὸν ποιεῖ τὸν ἄνδρα. |
| Ἄδικος Λόγος | ἐπίσχες· εὐθὺς γάρ σ᾽ ἔχω μέσον λαβὼν ἄφυκτον. |
| | καί μοι φράσον, τῶν τοῦ Διὸς παίδων τίν᾽ ἄνδρ᾽ ἄριστον |
| | ψυχὴν νομίζεις, εἰπέ, καὶ πλείστους πόνους πονῆσαι. |
| Δίκαιος Λόγος | ἐγὼ μὲν οὐδέν᾽ Ἡρακλέους βελτίον᾽ ἄνδρα κρίνω. |
| Ἄδικος Λόγος | ποῦ ψυχρὰ δῆτα πώποτ᾽ εἶδες Ἡράκλεια λουτρά; |
| | καίτοι τίς ἀνδρειότερος ἦν; |
| Δίκαιος Λόγος | ταῦτ᾽ ἐστὶ ταῦτ᾽ ἐκεῖνα, |
| | ἃ τῶν νεανίσκων ἀεὶ δι᾽ ἡμέρας λαλούντων |
| | πλῆρες τὸ βαλανεῖον ποιεῖ, κενὰς δὲ τὰς παλαίστρας. |
| Ἄδικος Λόγος | εἶτ᾽ ἐν ἀγορᾷ τὴν διατριβὴν ψέγεις· ἐγὼ δ᾽ ἐπαινῶ. |
| | εἰ γὰρ πονηρὸν ἦν, Ὅμηρος οὐδέποτ᾽ ἂν ἐποίει |
| | τὸν Νέστορ᾽ ἀγορητὴν ἂν οὐδὲ τοὺς σοφοὺς ἅπαντας. |

Aristophanes Clouds 1043-57

1B 1 2006

ὁτιη = colloquial form of ὅτι

Ἡράκλεια λουτρά - warm baths were a gift of Hephaistos to Hercules

βαλανεῖον - bath house